§. λς'. Ἡ ἅλως, τῆς ἅλω, τῇ ἅλῳ, τὴν ἅλων, ὦ ἅλως. Τὰ ἅλω, ταῖν ἅλῳν, ὦ ἅλω. Αἱ ἅλῳ, τῶν ἅλων, ταῖς ἅλῳς, τὰς ἅλως, ὦ ἅλῳ.

✱. Εὕρηται ἡ Ἑνικὴ Αἰτιατικὴ καὶ χωρὶς ν ἀττικῶς. ἀγήρω γὰρ Φαμὲν, καὶ ἄθω, καὶ λαγὼ, καὶ Κῶ, καὶ ἕω.

§. λζ'. Ὁ καὶ ἡ εὔγεως, τοῦ καὶ τῆς εὔγεω.

§. λη'. Τὸ εὔγεων, τοῦ εὔγεω, τῷ εὔγεῳ, τὸ εὔγεων, ὦ εὔγεων. Τὼ εὔγεω, τοῖν εὔγεῳν, ὦ εὔγεω. Τὰ εὔγεω, τῶν εὔγεων, τοῖς εὔγεῳς, τὰ εὔγεω, ὦ εὔγεω.

Πέμπτη τῶν Περιττοσυλλάβων.

§. λθ'. Πέμπτη Κλίσις ἐστὶ πάντων τῶν περιττοσυλλάβων Ὀνομάτων, ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ οὐδετέρων, κοινῶν, καὶ ἐπικοίνων, διαφόρους καταλήξεις ἐχόντων. ὧν ἡ Γενικὴ εἰς ος, ἡ Δοτικὴ εἰς ι, ἡ Αἰτιατικὴ εἰς α.

§. μ'. Ὁ Αἴας, τοῦ Αἴαντος, τῷ Αἴαντι, τὸν Αἴαντα, ὦ Αἶαν κοινῶς, καὶ ὦ Αἴας ἀττικῶς. Τὼ Αἴαντε, τοῖν Αἰάντοιν, ὦ Αἴαντε. Οἱ Αἴαντες, τῶν Αἰάντων, τοῖς Αἴασι, τοὺς Αἴαντας, ὦ Αἴαντες.

§. μα'. Ἡ τρυγὼν, τῆς τρυγόνος, τῇ τρυγόνι, τὴν τρυγόνα, ὦ τρυγών. Τὰ τρυγόνε, ταῖν τρυγόνοιν, ὦ τρυγόνε. Αἱ τρυγόνες, τῶν τρυγόνων, ταῖς τρυγόσι, τὰς τρυγόνας, ὦ τρυγόνες.

§. μβ' Τὸ βῆμα, τοῦ βήματος, τῷ βήματι, τὸ βῆμα, ὦ βῆμα. Τὼ βήματε, τοῖν βημάτοιν, ὦ βήματε. Τὰ βήματα, τῶν βημάτων, τοῖς βήμασι, τὰ βήματα, ὦ βήματα.